TEZAUR LITURGIC

**23 NOIEMBRIE**

**PANAGHIOTIS SOMALIS**

# SLUJBA SF.CUVIOS COLUMBAN DE LA BOBBIO ITALIEI

**ATENA,2020**


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 23 ΝΟΕΜΒΡΙΟΣ
# ΚΟΛΟΥΜΒΑΝΟΣ ΟΣΙΟΣ
# ΑΚΟΛΟΥΘΙΑ

## Ποίημα Παναγιώτου Σόμαλη

### ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τοῦ ἱεροῦ Κολουμβάνου τὴν μνήμην σήμερον, τῶν ὀρθδόξων δῆμοι, ἑορτάσωμεν πόθῳ, γεραίροντες ἐκείνου μελῳδικῶς, βιοτὴν τὴν ἰσάγγελον, ἵνα ἐκείνου πρεσβείαις πρὸς τὸν Χριστόν, λυτρωθῶμεν πάσης θλίψεως.

Τῶν Ἀποστόλων Κυρίου πέλων ὁμότροπος, τῆς Σουαβίας ὤφθης, φωτιστὴς Κολουμβάνε, καὶ κῆρυξ μετανοίας εἰλικρινοῦς, τοῖς Θεὸν παροργίζουσι, καὶ βασιλέα διήλεγξας εὐθαρσῶς, ὡς Ἠλίας ὁ θεόπνευστος.

Τίς τὴν πληθὺν τῶν θαυμάτων σου διηγήσεται; Νοσοῦντας γὰρ ἰάσω, δαιμονῶντας ἐῤῥύσω, ἐκ πέτρας δὲ ἀνίκμου ὡς Μωϋσῆς, ἀναβλῦσαι ἐποίησας, ὕδωρ καὶ σίτου ἐπλήρωσας σῆς Μονῆς, τὰ ταμεῖα θεοδόξαστε.

Ἡ Ἰρλανδία καυχᾶται ἐν τοῖς σπαργάνοις σου, καὶ Γαλατία πᾶσα, γηθοσύνως ὑμνεῖ σε, καὶ χαίρει Ἰταλία

τῇ σῇ ταφῇ, ἁγιασθεῖσα πανόλβιε, σὺ δὲ αὐτὰς Κολουμβάνε αἱρετικῶν, τῆς ἀπάτης ἐλευθέρωσον.

*Δόξα. Ἦχος β΄.*

Τὸν Ἀβραὰμ μιμησάμενος, τὴν ἰδίαν πατρίδα κατέλιπες, καὶ ὡς ἄλλος ἀπόστολος, πλείστας χώρας καὶ πόλεις διῆλθες, εὐαγγελιζόμενος Χριστὸν τὸν Σωτῆρα, Κολουμβάνε παμμακάριστε· ὅθεν μοναζόντων καθηγητὴς ἀνεδείχθης, καὶ ἐν σημείοις καὶ τέρασιν ἔλαμψας, εἰδωλικὰς σπονδὰς καταργήσας, καὶ τῶν Ἀρείου ὁπαδῶν, τὴν πλάνην στηλιτεύσας. Καὶ νῦν αἴτησαι δωρήσασθαι ἡμῖν, τοῖς ἀνυμνοῦσί σου τὴν κοίμησιν, εἰρήνην καὶ μέγα ἔλεος.

*Καὶ νῦν ... Ἦχος β' Λέοντος Μαΐστορος*

Σήμερον τῷ Ναῷ προσάγεται, ἡ Πανάμωμος Παρθένος, εἰς κατοικητήριον τοῦ παντάνακτος Θεοῦ, καὶ πάσης τῆς ζωῆς ἡμῶν τροφοῦ. Σήμερον τὸ καθαρώτατον ἁγίασμα, ὡς τριετίζουσα δάμαλις, εἰς τὰ Ἅγια τῶν Ἁγίων εἰσάγεται· Ταύτῃ ἐκβοήσωμεν, ὡς ὁ Ἄγγελος· Χαῖρε μόνη ἐν γυναιξὶν εὐλογημένη.

*Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Σύσκηνος Προφητῶν, καὶ Ἀποστόλων ὤφθης, καὶ μοναστῶν λαμπρότης, καὶ κῆρυξ μετανοίας, καὶ σωφροσύνης πάνσοφε.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Χαίροις ὁ εὐκλεής, τῆς Ἰρλανδίας γόνος, τῆς Γαλατίας δόξα, παμμάκαρ Κολουμβάνε, τῆς Ἰταλίας καύχημα.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Αἴτει παρὰ Θεοῦ, Ὅσιε Κολουμβάνε, συγγνώμην ἐγκλημάτων, τοῖς πόθῳ ἐκτελοῦσι, τὴν σὴν σεπτὴν πανήγυριν.

*Δόξα. Τριαδικόν.*

Πάτερ σὺν τῷ Υἱῷ, καὶ Πνεύματι τῷ θείῳ, Τριὰς Ὑπεραγία, πρεσβείαις τοῦ Ὁσίου, τοῖς δούλοις Σου ἱλάσθητι.

*Καὶ νῦν. Μεθέορτον.*

Ἔνδον τοῦ ἱεροῦ, ἁγίαν τῶν ἁγίων, τὴν Θεοτόκον οὖσαν, ὦ Ζαχαρία δέχου, ἁγίων εἰς τὰ ἅγια.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Ἰρλανδίας τὸν γόνον Γαλατίας τὸ καύχημα, καὶ τῆς Σουαβίας φωστῆρα, Κολουμβάνον τὸν πάνσοφον, τοῦ θείου Βαπτιστοῦ τὸν μιμητήν, ὑμνήσωμεν ἐκ πόθου ἀδελφοί, τῶν θαυμάτων γὰρ πηγάζει τὴν δωρεάν, τοῖς πρὸς αὐτὸν κραυγάζουσι· δόξα τῷ σὲ καλέσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα,

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος δ΄.*

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις· Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν

τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς τό· *Κύριε ἐκέκραξα*, ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἰρλανδίας τὸ βλάστημα, Γαλατίας τὸ καύχημα, καὶ τῆς Ἰταλίας τὸ ἐγκαλλώπισμα, νῦν Κολουμβάνον ὑμνήσωμεν, Πατέρων τὸ κλέϊσμα, ἑορτάζοντες αὐτοῦ, τὴν σεβάσμιον κοίμησιν, καὶ βοήσωμεν· ἐκδυσώπει Χριστὸν Ὅσιε Πάτερ, τοῖς τιμῶσί σε συγγνώμην, ἁμαρτημάτων δωρήσασθαι.

Τῇ μητρί σου ἡ δόξα σου, ἐμηνύθη ἡ μέλλουσα, ἔτι ἐν γαστρί σε ἐχούσῃ Ἅγιε, σὺ δὲ ἐκείνην κατέλιπες, τρωθεὶς θείῳ ἔρωτι, καὶ ὑπήκοος σοφοῖς, ἀσκηταῖς ἐχρημάτισας, πλήρης χάριτος, καὶ σοφίας ὑπάρχων οὐρανίου, ὡς πλουσίαν δεδεγμένος, τοῦ Παρακλήτου τὴν ἔλλαμψιν.

Ἀποστόλων ἐπόθησας, μιμηθῆναι τὰ σκάμματα, καὶ ἐξῆλθες Ὅσιε πρὸς τὸ κήρυγμα, καὶ πρὸς μετάνοιαν ἴθυνας, πολλοὺς καὶ ἐφώτισας, Σουαβίας τὸν λαόν, τοῖς εἰδώλοις λατρεύοντα, ὅθεν αἴτησαι, κακοδόξων

τῆς λύμης λυτρωθῆναι, Κολουμβάνε τοὺς τελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Διωγμοὺς καθυπέμεινας, καὶ κινδύνους ὑπήνεγκες, καὶ ὑπερορίαν δεινὴν ἀοίδιμε, καὶ τοῖς παθήμασιν ἔχαιρες, τοῖς σοῖς καὶ ἐδόξαζες, ὡς ὁ δίκαιος Ἰώβ, τοῦ Κυρίου τὸ ὄνομα, Ὃν ἱκέτευε, τοῖς τιμῶσί σε δοῦναι Κολουμβάνε, καρτερίαν καὶ ἀνδρείαν, ὑπομονὴν καὶ πρᾳότητα.

Τῶν θαυμάτων δεδόξασαι, ταῖς δυνάμεσιν Ὅσιε, ὅθεν ἀσθενοῦσιν ὑγείαν ἔδωκας, δεσμὰ στειρώσεως ἔλυσας, δεσμίους διέσωσας, ἐν καιρῷ δὲ θερισμῦ, καταιγίδα κατέπαυσας, καὶ αἰδέσιμος, τοῖς θηρσὶν Κολουμβάνε ἀνεδείχθης, καὶ τὰ μέλλοντα προέγνως, παρὰ Θεοῦ φωτιζόμενος.

Τοὺς πιστῶς ἑορτάζοντας, τὴν πανένδοξον μνήμην σου, καὶ τῇ προστασίᾳ σου καταφεύγοντας, πάσης ἀνάγκης καὶ θλίψεως, καὶ νόσου ἀπάλλαξον, εὐπροσδέκτοις σου λιταῖς, Κολουμβάνε θεόπνευστε, καὶ ἀξίωσον, μιμητάς σου ἡμᾶς ἀναδειχθῆναι, τοὺς ὑμνοῦντάς σου τοὺς πόνους, τῶν Ἀσωμάτων συνόμιλε.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον ἐν μεθεόρτοις, τῆς ἐν τῷ Ναῷ εἰσόδοου, τῆς εὐλογημένης Θεομήτορος, τὴν ἐκ τοῦ κόσμου ἔξοδον, καὶ πρὸς Κύριον ἐκδημίαν, Κολουμβάνου τοῦ παμμάκαρος, ὕμνοις τιμήσωμεν βοῶντες· χαίροις, τῆς Ἰρλανδίας βλάστημα σεπτόν, τῆς Γαλατίας δόξα, καὶ τῶν ἐν Ἰταλίᾳ Ἁγίων προσθήκη· χαίροις, μοναστῶν ἱερὸν ἐγκαλλώπισμα, καὶ τῆς Σουαβίας ὁ

λαμπρότατος φωστήρ· χαίροις, ὁ τὰ μέλλοντα σαφῶς προγινώσκων, καὶ τὴν χάριν τῶν θαυμάτων, οὐρανόθεν κομισάμενος. Χριστὸν ἱκέτευε, τὸν σὲ στεφανώσαντα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

Σήμερον τὰ στίφη τῶν Πιστῶν συνελθόντα, πνευματικῶς πανηγυρίσωμεν, καὶ τὴν θεόπαιδα Παρθένον καὶ Θεοτόκον, ἐν Ναῷ Κυρίου προσαγομένην, εὐσεβῶς ἀνευφημήσωμεν· τὴν προεκλεχθεῖσαν ἐκ πασῶν τῶν γενεῶν, εἰς κατοικητήριον τοῦ Παντάνακτος Χριστοῦ, καὶ Θεοῦ τῶν ὅλων, Παρθένοι, λαμπαδηφοροῦσαι προπορεύεσθε, τῆς Ἀειπαρθένου τιμῶσαι, τὴν σεβάσμιον πρόοδον, Μητέρες, λύπην πᾶσαν ἀποθέμεναι, χαρμονικῶς συνακολουθήσατε, ὑμνοῦσαι τὴν Μητέρα τοῦ Θεοῦ γενομένην, καὶ τῆς χαρᾶς τοῦ κόσμου τὴν πρόξενον. Ἅπαντες οὖν χαρμονικῶς, τὸ χαῖρε σὺν τῷ Ἀγγέλῳ ἐκβοήσωμεν, τῇ Κεχαριτωμένῃ, τῇ ἀεὶ πρεσβευούσῃ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα (ιζ´ 1-7)*

Ἐν ταῖς ἡμέραις ἐκείναις ἀπῇρε πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ἐκ τῆς ἐρήμου Σὶν κατὰ παρεμβολὰς αὐτῶν διὰ ῥήματος Κυρίου καὶ παρεναβάλοσαν ἐν Ῥαφιδείν· οὐκ ἦν δὲ ὕδωρ τῷ λαῷ πιεῖν. Καὶ

ἐλοιδορεῖτο ὁ λαὸς πρὸς Μωϋσῆν λέγοντες· δὸς ἡμῖν ὕδωρ, ἵνα πίωμεν. Καὶ εἶπεν αὐτοῖς Μωϋσῆς· τί λοιδορεῖσθέ μοι, καὶ τί πειράζετε Κύριον; ἐδίψησε δὲ ἐκεῖ ὁ λαὸς ὕδατι, καὶ διεγόγγυζεν· ἐκεῖ ὁ λαὸς πρὸς Μωϋσῆν λέγοντες· ἱνατί τοῦτο; ἀνεβίβασας ἡμᾶς ἐξ Αἰγύπτου ἀποκτεῖναι ἡμᾶς καὶ τὰ τέκνα ἡμῶν καὶ τὰ κτήνη τῷ δίψει; ἐβόησε δὲ Μωϋσῆς πρὸς Κύριον, λέγων· τί ποιήσω τῷ λαῷ τούτῳ; ἔτι μικρὸν καὶ καταλιθοβολήσουσί με. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν· προπορεύου τοῦ λαοῦ τούτου, λαβὲ δὲ σεαυτῷ ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ· καὶ τὴν ῥάβδον, ἐν ᾗ ἐπάταξας τὸν ποταμόν, λαβὲ ἐν τῇ χειρί σου καὶ πορεύσῃ· ὅδε ἐγὼ ἕστηκα ἐκεῖ πρὸ τοῦ σε ἐπὶ τῆς πέτρας ἐν Χωρήβ· καὶ πατάξεις τὴν πέτραν, καὶ ἐξελεύσεται ἐξ αὐτῆς ὕδωρ, καὶ πίεται ὁ λαός. Ἐποίησε δὲ Μωϋσῆς οὕτως ἐναντίον τῶν υἱῶν Ἰσραήλ. Καὶ ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Πειρασμὸς καὶ Λοιδόρησις, διὰ τὴν λοιδορίαν τῶν υἱῶν Ἰσραὴλ καὶ διὰ τὸ πειράζειν Κύριον λέγοντας· εἰ ἔστι Κύριος ἐν ἡμῖν ἢ οὔ;

*Βασιλειῶν Δ΄ τὸ Ἀνάγνωσμα (δ΄ 38-44)*

Ἐν ταῖς ἡμέραις ἐκείναις Ἑλισαιὲ ἐπέστρεψεν εἰς Γάλγαλα, καὶ ὁ λιμὸς ἐν τῇ γῇ, καὶ υἱοὶ τῶν προφητῶν ἐκάθηντο ἐνώπιον αὐτοῦ. Καὶ εἶπεν Ἑλισαιὲ τῷ παιδαρίῳ αὐτοῦ· ἐπίστησεν τὸν λέβηρα τὸν μέγα καὶ ἕψε ἕψεμα τοῖς υἱοῖς τῶν προφητῶν. Καὶ ἐξῆλθεν εἰς τὸν ἀγρὸν συλλέξαι ἀγρίαν πλῆρες τὸ ἱμάτιον αὐτοῦ

καὶ ἐνέβαλεν εἰς τὸν λέβητα τοῦ ἑψέματος, ὅτι οὐκ ἔγνωσαν. Καὶ ἐνέχει τοῖς ἀνδράσι φαγεῖν, καὶ ἐγένετο ἐν τῷ ἐσθίειν αὐτοὺς ἐκ τοῦ ἑψέματος καὶ ἰδοὺ ἀνεβόησαν καὶ εἶπαν· θάνατος ἐν τῷ λέβητι, ἄνθρωπε τοῦ Θεοῦ· καὶ οὐκ ἠδύναντο φαγεῖν. Καὶ εἶπε· λάβετε ἄλευρον καὶ ἐμβάλετε εἰς τὸν λέβητα· καὶ εἶπεν Ἑλισαιὲ πρὸς Γιεζὶ τὸ παιδάριον· ἔγχει τῷ λαῷ καὶ ἐσθιέτωσαν· καὶ οὐκ ἐγενήθη ἐκεῖ ἔτει ῥῆμα πονηρὸν ἐν τῷ λέβητι. Καὶ ἀνὴρ διῆλθεν ἐκ Βαιθσαρισὰ καὶ ἤνεγκε πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ πρωτογεννημάτων εἴκοσιν ἄρτους κριθίνους καὶ παλάθας, καὶ εἶπε· δότε τῷ λαῷ καὶ ἐσθιέτωσαν. Καὶ εἶπεν ὁ λειτουργὸς αὐτοῦ· τί δῶ τοῦτο ἐνώπιον ἑκατὸν ἀνδρῶν; καὶ εἶπε· δὸς τῷ λαῷ καὶ ἐσθιέτωσαν, ὅτι τάδε λέγει Κύριος· φάγονται καὶ καταλείψουσι· καὶ ἔφαγον καὶ κατέλιπον κατὰ τὸ ῥῆμα Κυρίου.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν

Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Ἡ ἁγιοτόκος Ἰρλανδία καυχᾶται τοῖς σπαργάνοις σου, καὶ Γαλατία σὺν Φραγγίᾳ τοῖς ἀσκητικοῖς σου ἀγωνίσμασι· χαίρει δὲ ἐν σοὶ καὶ Σουαβία, ἡ διὰ σοῦ Χριστῷ υἱοθετιθεῖσα, καὶ Ἰταλία κομπάζει καὶ εὐφραίνεται, τῇ σῇ τιμίᾳ τελευτῇ ἁγιασθεῖσα. Σὺ δὲ Κολουμβάνε θεοφόρε, μνημόνευσον πάντων τῶν μεμνημένων σου, καὶ ῥῦσαι πάσης αἱρετικῶν κακοδοξίας, ἐκδυσωπῶν Θεὸν τὸν σὲ δοξάσαντα, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Ἦχος β΄.*

Προφητῶν καὶ Ἀποστόλων, μιμητὴς καὶ ἰσοστάσιος, ὤφθης Κολουμβάνε Πάτερ Ὅσιε· καὶ τοὺς μὲν καταλιπόντας ἐπὶ τὸ ἴδιον ἐξέραμα, πρὸς μετάνοιαν ἴθυνας· τοὺς δὲ ἀγνοοῦντας τὸν Κύριον τῆς δόξης, καὶ ἐν σκιᾷ θανάτου καθημένους, ταῖς διδαχαῖς σου ἐφώτισας, κηρύξας τὸν λόγον τοῦ Σταυροῦ, οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ’ ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως. Καὶ νῦν ἐν οὐρανοῖς, τῶν σῶν πόνων κομιζόμενος τὰ ἔπαθλα, αἴτησαι εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

*Ἦχος γ΄.*

Ὁ Κύριος οὐκ ἐνετείλατο οὐδενὶ ἀσεβεῖν, καὶ οὐκ ἔδωκεν ἄνεσιν οὐδενὶ ἁμαρτάνειν, φησὶ τὸ θεῖον λόγιον Κολουμβάνε ὁσιώτατε· σὺ δὲ ὡς θεράπων ἐκείνου ἀληθής, τὸν ὀφθαλμοὺς ἔχοντα μεστοὺς μοιχαλίδος, καὶ ἀκαταπαύστους ἁμαρτίας, ἄνακτα ἤλεγξας βοῶν· ὀπίσω τῶν ἐπιθυμιῶν σου μὴ πορεύου, καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου· μὴ δῷς πόρναις τὴν ψυχήν σου, ἵνα μὴ ἀπολέσῃς τὴν κληρονομίαν σου· ἀλλ’ ἐκεῖνος μείνας ἀδιόρθωτος, εἱρκτῇ καὶ ἐξορίᾳ σὲ ἐπαίδευσεν, καὶ ὡς προείρηκας αὐτῷ, τὸν τῆς ἀδικίας μισθὸν ἐκομίσατο· ἀλλὰ ῥῦσαι δεόμεθα, ταῖς πρὸς Θεὸν μεσιτείαις σου, τῶν τῆς ἀτιμίας ψυχοφθόρων παθῶν, τοὺς τὴν πάντιμον μνήμην σου, εὐλαβῶς πανηγυρίζοντας.

*Ἦχος δ΄.*

Τοῦ μακαρίου Μαρτίνου, τὸν τάφον προσκυνῆσαι πορευθείς, περὶ τῆς τῶν ἰδίων ὑπαρχόντων φυλάξεως, οὐδόλως ἐφρόντισας, εἰδὼς ὅτι ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, ὁ φυλάττων μάτην ἀγρυπνει· μαθὼν δὲ ἐκείνων τὴν ἁρπαγήν, παῤῥησίᾳ τὸν Ἱεράρχην ἐνεκάλεις, ὡς εἴ τις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον· ὅθεν ἐκεῖνος τὸν κλέπτην ἄλγει δεινῷ παιδεύσας, τὰ συληθέντα ἐπιστρέψαι ἠνάγκασεν. Ἀλλὰ καὶ ἡμᾶς τοὺς πιστῶς ἀσπαζομένους, τὴν τιμίαν εἰκόνα σου, Πάτερ Κολουμβάνε θαυματουργέ, φρούρησον δυνάμει τῆς πρεσβείας σου.

*Δόξα. Ὁ αὐτός.*

Τοὺς ὡς τέκνα ὑπακοῆς, σοὶ τῷ ἡγουμένῳ αὐτῶν πειθομένους, καὶ ἀδιακρίτως ὑπείκοντας, τοῖς σοῖς προστάγμασιν, ἐπὶ κλίνης ὀδύνης, καὶ στρωμνῆς κακώσεως κειμένους, παραδόξως ἰάτρευσας, Κολυομβάνε θεοφόρε· τοὺς δὲ ῥᾳθύμους ὡς πατὴρ παιδαγωγῶν, οὐκ ἐῤῥύσω τοῦ πυρετοῦ, ἵνα λυπηθῶσιν πρὸς μετάνοιαν, ὡς καλὸς ποιμὴν ἐπισκοπῶν, μή τις ὑστερεῖ ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ, μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλεῖ, καὶ διὰ ταύτης μιανθῶσι πολλοί. Διὸ καὶ ἡμῖν τοῖς τιμῶσί σε, τὴν κατ’ ἄμφω παράσχου ὑγείαν, καὶ οὐρανόθεν εὐλόγει ἡμᾶς, ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύωμεν εἰς πᾶν ἔργον ἀγαθόν, καὶ τῷ Κυρίῳ εὐάρεστον.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Ὁ αὐτός.*

Δεῦτε πάντες οἱ λαοί, τὴν μόνην ἀμώμητον ἐγκωμιάσωμεν, τὴν ἐκ τῶν Προφητῶν προκηρυχθεῖσαν, καὶ ἐν Ναῷ προσενεχθεῖσαν, τὴν πρὸ αἰώνων προορισθεῖσαν Μητέρα, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων, ἀναδειχθεῖσαν Θεοτόκον, Κύριε πρεσβείαις αὐτῆς, τὴν εἰρήνην σου παράσχου ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

*Εἰς τὸν στίχον. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Ὅτε, ἐν καιρῷ τοῦ θερισμοῦ, στὰς εἰς προσευχὴν καταιγίδα, δεινὴν κατέπαυσας, τότε πάντες δύναμιν, τὴν σὴν ἐγνώρισαν, ἣν θεόθεν ἀπείληφας, ἀσκήσεως πόνοις, σαὐτὸν καθηράμενος, ἀπὸ παντὸς μολυσμοῦ,

καὶ ἐν ταπεινώσει βιώσας, ὅθεν Κολουμβάνε ἐβόων· δόξα τῷ λαμπρῶς σε μεγαλύναντι.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Ὅτε, ὡς ὁ μέγας Βαπτιστής, ἤλεγξας σφοδρῶς βασιλέα, παρανομήσαντα, θλίψεσιν ὡμίλησας, καὶ τιμωρίαις πικραῖς, καὶ κινδύνους ὑπέμεινας, εἱρκτὴν ἐξορίαν, καὶ ἐχθρὸν ἐνίκησας, τῇ καρτερίᾳ σου, νῦν δὲ Κολουμβάνε τρισμάκαρ, ἔχων πρὸς Χριστὸν παῤῥησίαν, αἴτησαι ἡμῖν πταισμάτων ἄφεσιν.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Ὅτε, Σουαβίας οἱ λαοί, εἶδον τῶν εὐχῶν σου τῇ ῥάβδῳ, Πάτερ συντρίβοντα, ζύθου τὸ δοχεῖόν σε, φόβῳ συνείχοντο, καὶ πειθόμενοι Ὅσιε, ταῖς σαῖς νουθεσίαις, βάπτισμα ἐδέξαντο, Χριστῷ πιστεύσαντες, ὅνπερ Κολουμβάνε δυσώπει, ῥύσασθαι πυρὸς τοῦ ἀσβέστου, τοὺς εἰλικρινῶς ἀνευφημοῦντάς σε.

*Δόξα. Ἦχος δ΄.*

Ἀποστολικὴν ἀναλαβὼν πορείαν, τὸν σπόρον ὅε ἐστιν ὁ λόγος τοῦ Θεοῦ, ἐξῆλθες σπείρων ἐν Γαλατίᾳ καὶ Σουαβίᾳ, τοῦ Παρακλήτου τῷ φωτί, καταλλαμφθεὶς τὴν καρδίαν, Κολουμβάνε ἀξιάγαστε· καὶ ὑπόδειγμα ἔχων τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας, τοὺς προφῆτας οἳ ἐλάλησαν τῷ ὀνόματι Κυρίου, ἔσωσας πολλὰς ψυχὰς ἐκ θανάτου, καὶ ἐκάλυψας πλῆθος ἁμαρτιῶν, ἐν πραΰτητι σοφίας διδάσκων, τῆς εὐσεβείας τὸ μέγα μυστήριον. Καὶ νῦν πρέσβευε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

Σήμερον ὁ θεοχώρητος ναός, ἡ Θεοτόκος ἐν Ναῷ Κυρίου προσάγεται, καὶ Ζαχαρίας ταύτην ὑποδέχεται. Σήμερον τὰ τῶν Ἁγίων Ἅγια ἀγάλλονται, καὶ ὁ χορὸς τῶν Ἀγγέλων, μυστικῶς πανηγυρίζει· μεθ' ὧν καὶ ἡμεῖς ἑορτάζοντες σήμερον, σὺν τῷ Γαβριὴλ ἐκβοήσωμεν· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων το μέγα ἔλεος.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Ἰρλανδίας τὸν γόνον Γαλατίας τὸ καύχημα, καὶ τῆς Σουαβίας φωστῆρα, Κολουμβάνον τὸν πάνσοφον, τοῦ θείου Βαπτιστοῦ τὸν μιμητήν, ὑμνήσωμεν ἐκ πόθου ἀδελφοί, τῶν θαυμάτων γὰρ πηγάζει τὴν δωρεάν, τοῖς πρὸς αὐτὸν κραυγάζουσι· δόξα τῷ σὲ καλέσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα,

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος δ΄.*

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις· Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

*Ἀπόλυσις.*

# ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Τὸν ζῆλον μιμηθείς, τῶν σεπτῶν Ἀποστόλων, ἐκήρυξας λαοῖς, τοῖς Χριστὸν ἀγνοοῦσι, λιπὼν τὴν πατρίδα σου, Κολουμβάνε θεόπνευστε, καὶ συνέτριψας, αἱρετιζόντων τὴν πλάνην, ὅθεν σήμερον, τὴν σὴν πανένδοξον μνήμην, πιστῶς ἑορτάζομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Δικαίων ὁ καρπός, Ἰωακεὶμ καὶ τῆς Ἄννης, προσφέρεται Θεῷ, Ἱερῷ ἐν ἁγίῳ, σαρκὶ νηπιάζουσα, ἡ τροφὸς τῆς ζωῆς ἡμῶν, ἣν ηὐλόγησεν, ὁ ἱερὸς Ζαχαρίας. Ταύτην ἅπαντες, ὡς τοῦ Κυρίου Μητέρα, πιστῶς μακαρίσωμεν.

*Μετὰ τὴν β΄ στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Κατεπλάγησαν ἐν σοί, τῆς Σουαβίας οἱ λαοί, ὅτε ζύθου τὸν μεστόν, κρατῆρα ἔθραυσας σοφέ, τῇ πρὸς Χριστόν σου πρεσβείᾳ τὸν Ζωοδότην, ὅθεν τῷ λουτρῷ τοῦ βαπτίσματος, τούτους μυστικῶς ἀνεγέννησας, τοὺς πρὶν ἀψύχοις Πάτερ Κολουμβάνε, σέβας εἰδώλοις προσνέμοντας, καὶ νῦν δυσώπει σωθῆναι πάντας, τοὺς τελοῦντας τὴν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Πρὸ συλλήψεως Ἁγνή, καθηγιάσθης τῷ Θεῷ, καὶ τεχθεῖσα ἐπὶ γῆς, δῶρον προσήχθης νῦν αὐτῷ, ἀποπληροῦσα πατρῴαν ἐπαγγελίαν. Τῷ θείῳ δὲ Ναῷ,

ὡς θεῖος ὄντως ναός, ἐκ βρέφους καθαρῶς, μετὰ λαμπάδων φαιδρῶν, ἀποδοθεῖσα ὤφθης δοχεῖον, τοῦ ἀπροσίτου καὶ θείου Φωτός. Μεγάλη ὄντως, ἡ πρόοδος σου, μόνη Θεόνυμφε καὶ ἀειπάρθενε.

*Μετὰ τὸν Πολυέλεον,*

*κάθισμα. Ἦχος πλ. δ΄. Τὸ προσταχθὲν μυστικῶς.*

Τὴν καταιγίδα ταῖς εὐχαῖς σου καταπαύσας, τούς τε δεσμίους τῆς Εἰρκτῆς ἐλευθερώσας, καὶ μελλόντων τὴν γνῶσιν μάκαρ κεκτημένος, φωτίζεις τῶν σῶν θαυμάτων ταῖς ἀστραπαῖς, τοὺς πίστει τὴν σὴν γεραίροντας βιοτήν, Κολουμβάνε ἰσάγγελε, ἐκδυσωπῶν ὑπὲρ ἡμῶν, Χριστὸν τὸν Παντοκράτορα, ὅπως εὕρωμεν ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἀγαλλιάσθω ὁ Δαυῒδ ὁ ὑμνογράφος, καὶ χορευέτω Ἰωακεὶμ σὺν τῇ Ἄννῃ, ὅτι γόνος ἅγιος ἐξ αὐτῶν προῆλθε· Μαρία ἡ φωτοφόρος θεία λαμπάς, καὶ χαίρει εἰσερχομένη ἐν τῷ Ναῷ, ἣν καὶ βλέπων ηὐλόγησεν, ὁ Βαραχίου υἱός, καὶ χαίρων ἀνεκραύγαζε· Χαῖρε θαῦμα παγκόσμιον.

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον, τῷ Σαββάτῳ πρὸ τῆς Ὑψώσεως.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τοῦ σοῦ Ὁσίου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*
Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου, Ὅσιε Πάτερ, καὶ γέγονας φωστήρ, τῆς Σουαβίας ἁπάσης, διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ θεότητι.

Εἶτα οἱ Κανόνες· ὁ β΄ τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν εἰς στ΄, καὶ τοῦ Ἁγίου εἰς η΄, οὗ ἡ ἀκροστιχὶς ἐν τῇ ζ΄, η΄ καὶ θ΄ Ὠδῇ, ἄνευ τῶν Θεοτοκίων: *Παναγιώτου.*

*Ὠδὴ α΄. Ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

Σὲ τὸν θεοφόρον ἀσκητήν, καὶ τῶν σεπτῶν Ἀποστόλων ὁμότροπον, Κολουμβάνε Ὅσιε, ἐπιποθῶν ὑμνῆσαι ὁ ἀνάξιος, φωτισμὸν αἰτοῦμαι, παρὰ Θεοῦ ταῖς πρεσβείαις σου.

Ὡς Ἱερεμίαν τὸν κλεινόν, σὲ ἐκ μητρώας νηδύος ἡγίασεν, ὁ Θεὸς ὁ Ἅγιος, ὁ ἐν Ἁγίοις ἐπαναπαυόμενος, ὅθεν τῇ μητρί σου, ἡ ἐκλογή σου μεμήνυται.

Τὴν τῆς ἐρημίτιδος πρὸς σέ, διδασκαλίαν ποιῆσαι ἐσπούδασας, ὅθεν τὴν οἰκίαν σου, ὡς Ἀβραὰμ ὁ θαυμαστὸς κατέλιπες, μάκαρ Κολουμβάνε, καὶ τῷ Χριστῷ ἠκολούθησας.

*Θεοτοκίον.*

Τῇ Ἀειπαρθένῳ καὶ Μητρί, τοῦ Βασιλέως τῶν ἄνω δυνάμεων, ἀῤῥυπώτοις χείλεσιν, καὶ καθαραῖς ψυχαῖς

ἀναβοήσωμεν· χαῖρε Θεοτόκε, Παρθένε Νύμφη ἀνύμφευτε.

*ᾨδὴ γ΄. Λίθον ὃν ἀπεδοκίμασαν.*

Βίον ἀληθῶς ἰσάγγελον, ἐκ παιδὸς ποθήσας, γέγονας ἀνδράσιν, ὑπήκοος ὁσίοις, δεήσεσι σχολάζων, καὶ πόνοις ἀσκήσεως, καὶ ἀναγνώσει τῶν Γραφῶν, τῶν ἱερῶν ἀξιοθαύμαστε.

Ἔχων συνοδίτας δώδεκα, ὥσπερ Ἀποστόλους, ὁ Χριστὸς ἐξῆλθες, τῆς σῆς Μονῆς θεόφρον, εἰς Γαλατίαν πλεύσας, κηρῦξαι μετάνοιαν, τοῖς ἐξ εὐθείας τῆς ὁδοῦ, ἀτόποις ἔργοις παρεκκλίνασι.

Πλήθη μοναστῶν συνήθροισας, καὶ ποιμὴν ἐκείνων, ὤφθης Κολουμβάνε, Μονὰς δύο ἐγείρας, Πηγῶν καὶ Λουξοβίου, διὸ μοναζόντων σου, νῦν Ὀρθοδόξων ὁ χορίς, ὑμνολογεῖ τὰ κατορθώματα.

*Θεοτοκίον.*

Τίκτεις Ὃν Πατὴρ ἐγέννησεν, πάντων πρὸ αἰώνων, τρέφεις τὸν τροφέρα, πεῖραν ἀνδρὸς μὴ γνοῦσα, παράδοξον τὸ θαῦμα, καινὸν τὸ μυστήριον, Θεοχαρίτωτε διό, πᾶσα πιστῶν ψυχὴ δοξάζει Σε.

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Τὸν ἄνακτα ἤλεγξας ἐν παῤῥησίᾳ πολλῇ, καὶ χαίρων ὑπέμεινας ὑπερορίαν δεινήν, δοξάζων τὸν Κύριον, ὅνπερ καθικετεύων Κολουμβάνε μὴ παύσῃ, δοῦναι πταισμάτων λύσιν καὶ εἰρήνην τελείαν, τοῖς πόθῳ ἑορτάζουσι, Πάτερ τὴν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Δαβὶδ προοδοποίησον ἐν τῷ Ναῷ τοῦ Θεοῦ, καὶ χαίρων ὑπόδεξαι τὴν Βασιλίδα ἡμῶν, καὶ ταύτῃ ἐκβόησον· εἴσελθε ἡ Κυρία, εἰς Ναὸν Βασιλέως, εἴσελθε ἧς ἡ δόξα, κεκρυμμένως νοεῖται, ἐξ ἧς μέλι καὶ γάλα μέλλει πηγάσειν, πᾶσιν τὸ φῶς ὁ Χριστός.

*Ὠδὴ ε΄. Ἐν Πνεύματι προβλέπων.*

Τοῦ ἄρχοντος γυναῖκα, χρονίου πυρετοῦ, ἔσωσας πρεσβείαις σου, τῇ σκήτῃ σου αὐτοῦ, τροφὴν ἐνέγκαντος Ὅσιε Κολουμβάνε, ὅθεν ἐβόα τῷ Σωτῆρι εὐχαρίστως· δόξα τῇ δυνάμει Σου Κύριε.

Ἐν πνεύματι προβλέπων, τὰ μέλλοντα σαφῶς, βασιλέως ὄλεθρον, προεῖπες ἀκριβῶς, ὅθεν ὁρῶντες τὴν ἔκβασιν σῶν ῥημάτων, τῷ σὲ φωτίσαντι οἱ πάντες ἀνεβόων· δόξα τῇ δυνάμει Σου Κύριε.

Δακρύων σου τοῖς ῥείθροις, τὰ πάθη τῆς σαρκός, Κολουμβάνε ἔπνιξας, νηστείαις καὶ εὐχαῖς, ὅθεν Ἀγγέλων συνόμιλος ἀνεδείχθης, καὶ τῶν δαιμόνων νικητὴς πίστει κραυγάζων· δόξα τῇ δυνάμει Σου Κύριε.

*Θεοτοκίον.*

Ναὸς ἡγιασμένος, ἐδείχθης τοῦ Θεοῦ, τοῦ ἐν Σοὶ οἰκήσαντος, Παρθένε ὑπὲρ νοῦν· Αὐτὸν δυσώπει πταισμάτων ἡμᾶς κηλίδων, ἀποκαθάραι ὅπως οἶκος γνωρισθῶμεν, καὶ κατοικητήριον πνεύματος.

*Ὠδὴ ε΄. Τὸ φαεινόν.*

Ἐκ τῆς ἀνίκμου πέτρας πανθαύμαστε, ὕδωρ ἀνέβλυσεν, τῇ πρεσβείᾳ σου, Πάτερ πρὸς Κύριον, ὃς τῆς τῶν λύκων, καὶ λῃστῶν μανίας σε, ἐφύλαξεν ἄτρωτον.

Παιδεύων τοὺς ῥαθύμους μακάριε, τοὺς καθυπείκοντας, τοῖς προστάγμασιν, τοῖς σοῖς ἰάτρευσας, καὶ καταιγίδα, ἔπαυσας δεήσει σου, Κολουμβάνε ἔνδοξε.

Στειρώσεως δεσμῶν ἠλευθέρωσας, τὸν εὐσεβέστατον, πάλαι ἄρχοντα, καὶ ἃ ἐγέννησεν, τέκνα εὐχαῖς σου, Πάτερ δυναμούμενα, Χριστῷ κατηκολούθησαν.

*Θεοτοκίον.*

Φωτοειδὲς Χριστοῦ Κόρη τέμενος, Θεοχαρίτωτε, τοῦ Πατρὸς Υἱοῦ καὶ θείου Πνεύματος, ταῖς προσευχαῖς Σου, οἴκους ἡμᾶς ποίησον, τὰ ὅσια πράσσοντας.

*Ὠδὴ στ΄. Τὸν προφήτην Ἰωνᾶν.*

Τῷ σιέλῳ σου ῥοήν, τὴν τοῦ αἵματος βαβαί, καταπαύεις θαυμαστῶς, καὶ ἰάσω μοναστοῦ, τὸν δάκτυλον τὸν ἐκκοπέντα, πάλιν σιέλῳ σου.

Πετεινὰ τοῦ οὐρανοῦ, καὶ θηρία τοῦ δρυμοῦ, τῇ προστάξει σου καλῶς, καθυπεῖκον ἀληθῶς, αἰδούμενα τὴν ἀρετήν σου, Πάτερ θεσπέσιε.

Τοὺς ἑξήκοντά ποτε, διατρέφεις ἐν ἀγρῷ, κοπιῶντας ἀδελφούς, Κολουμβάνε ἱερέ, χρησάμενος δυάδι ἄρτων, ὢ θαῦμα μέγιστον!

*Θεοτοκίον.*

Τρικυμίαι λογισμῶν, καὶ παθῶν ἐπαγωγαί, καὶ βυθὸς ἁμαρτιῶν, τὴν ἀθλίαν μου ψυχήν, χειμάζουσι βοήθησόν μοι, πάναγνε Δέσποινα.

*Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.*

Κολουμβάνου σήμερον, τὴν πανσεβάσμιον μνήμην, Ἰρλανδία χαίρουσα, καὶ Ἰταλία ὑμνοῦσι, χαίρει δέ, σὺν Γαλατίᾳ καὶ Σουαβίᾳ, λάμψεσι, τῶν θαυμασίων αὐτοῦ ῥυσθεῖσα, σκοτασμοῦ τῆς ἀσεβείας, καὶ μεγαλύνει τὸν μόνον φιλάνθρωπον.

*Ὁ Οἶκος.*

Ἀπὸ νεότητος Χριστοῦ ὀπίσω ἐπορεύθης, καὶ κατατήξας τῆς σαρκὸς ἀλόγους ἐνθυμήσεις, τῶν οὐρανίων πέφυκας συνόμιλος Ταγμάτων· ὅθεν μετανοίας κῆρυξ ἄριστος, καὶ τοῦ Εὐαγγελίου ἐργάτης δόκιμος ἀνεδείχθης, δυνατὸς ἐν ἔργῳ καὶ ἐν λόγῳ, μὴ βλέπων εἰς πρόσωπον ἀνθρώπου, ἀλλ' ἐπ' ἀληθείας τοῦ Θεοῦ τὴν ὁδὸν διδάσκων, καὶ τῶν Ἀρειανῶν λύκων, καταργῶν τὴν πλάνην. Διὸ Κολουμβάνε παμμακάριστε, τῶν θαυμάτων δωρεᾷ ἐπαξίως ἐδοξάσθης, καὶ τοῦ στεφάνου τῆς ζωῆς ἐν οὐρανῷ κατηξιώθης, δυσωπῶν ὑπὲρ ἡμῶν τῶν τιμώντων σου τὴν κοίμησιν, τὸν μόνον φιλάνθρωπον.

*Συναξάριον.*

Τῇ ΚΓ´ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Κολουμβάνου τοῦ θαυματουργοῦ.

*Μὴ σχὼν ὧδε μένουσαν πόλιν μετέστη,*
*Κολουμβάνου σήμερον χαίρων πρὸς πόλον.*

*ᾨδὴ ζ΄. Ἡ κάμινος Σωτήρ.*

Πορνεύοντα διήλεγξας ἄνακτα, τὸν μέγαν Βαπτιστὴν μιμησάμενος, καὶ ἐξορίαν ἤνεγκες, χαίρων ἐν τοῖς σοῖς παθήμασι.

Ἀνοίγεις τοῦ ναοῦ πύλην Ὅσιε, οἷς πρὶν τῆς φυλακῆς ἠλευθέρωσας, καὶ ταύτην κλείεις πάραυτα, τοῖς αὐτοὺς καταδιώκουσι.

Ναὸν τοῦ μακαρίου θεάσασθαι, Μαρτίνου Κολουμβάνε ἐπόθησας, καὶ τούτου σὲ ἠξίωσεν, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

*Θεοτοκίον.*

Αἱρέσεων κακίας διάσωσον, τοὺς σπεύδοντας τῇ σκέπῃ Σου Ἄνασσα, Μαρία ἀειπάρθενε, Ὀρθοδόξων τὸ κραταίωμα.

*ᾨδὴ η΄. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.*

Ἄνακτος ἡ σπεῖρα συλλαβεῖν, σὲ μάκαρ βουληθεῖσα, ἰδεῖν σε οὐκ ἐδυνήθη, τὰ γὰρ ὄμματα αὐτῶν, κεκράτηκεν Κύριος, ὃν δοξολογοῦμεν ἐν ὕμνοις, τὴν μνήμην σου τελοῦντες, Πάτερ Κολουμβάνε, τῶν μοναζόντων κλέος.

Γνῶσιν τῶν μελλόντων ἐκ Θεοῦ, ἔχων τοῦ παντογνώστου, προλέγεις αὐτὰ καὶ ῥύῃ, τῶν δαιμόνων τοὺς πιστῶς, πρὸς σὲ καταaφεύγοντας, τὸν δὲ πειραθέντα σε λόγχῃ, κτεῖναι Θεὸς παιδεύει, Ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἰταλία χαίρει ἐπὶ σοί, ἐν γὰρ Μεδιολάνῳ, Ἀρείου καθεῖλες πλάνην, ἐν Βοβίῳ δὲ Μονήν, ἀνήγειρας Ὅσιε, καὶ ἐν ταύτῃ χαίρων μετέστης, τοῦ νῦν αἰῶνος ψάλλων· Σὲ δοξάζω Σῶτερ, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Σωτηρίας αἴτιον ἡμῖν, τὸν Κύριον τεκοῦσα, ἱκέτευε ὑπὲρ πάντων, τῶν βοώντων ἐκτενῶς, Παρθένε πανύμνητε· εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Τὴν φωτοφόρον νεφέλην.*

Ὡς μοναστῶν ὡραιότης, καὶ μιμητὴς Ἀποστόλων, καὶ Προφητῶν τῶν θαυμαστῶν, σὺν ἐκείνοις μετέσχες, τοῦ Παραδείσου τῆς τρυφῆς, καὶ δόξης ἀφθάρτου κατηξίωσαι, Κολουμβάνε θεόφρον, σὺν Ἀγγέλων στρατιαῖς ἐν οὐρανοῖς.

Τῆς τῶν αἱρέσεων πλάνης, τὴν σὴν πατρίδα καὶ πάσας, χώρας καὶ πόλεις αἷς Χριστόν, τὸν Σωτῆρα τοῦ κόσμου, εὐηγγελίσω σαῖς εὐχαῖς, διάσωσον πάτερ παμμακάριστε, Κολούμβανε φωτίζων, τῷ φωτὶ τῶν ὀρθοδόξων διδαχῶν.

Ὁ τοῦ Δεσπότου τῶν ὅλων, ἡγιασμένος θεράπων, τῆς Σουαβίας ὁ φωστήρ, Γαλατίας ἡ δόξα, τῆς Ἰρλανδίας ὁ

βλαστός, τοὺς πόθῳ καὶ πίστει εὐφημοῦντας, Κολουμβάνε ἐκ πάσης, διαφύλαξον ἀνάγκης καὶ ὀργῆς.

Ὑμνολογῶν σου τὴν μνήμην, θαυματουργὲ Κολουμβάνε, τὴν σὴν αἰτοῦμαι ἀρωγήν, καὶ βοήθειαν δοῦναι, κἀμοὶ ἐν βίου τοῖς δεινοῖς, χειμὼν γάρ με θλίψεων κατέλαβεν, συνωθῶν τὴν ψυχήν μου, τὴν ἀθλίαν ἀπογνώσεως βυθῷ.

*Θεοτοκίον.*

Φέρεις τὸν φέροντα πάντα, χερουβικὸς ὥσπερ θρόνος, τρέφεις τὸν τρέφοντα ἡμᾶς, Ὃν ἀπαύστως δυσώπει, Θεοχαρίτωτε ἁγνή, σεισμοῦ καταπτώσεως ἁλώσεως, καὶ παντοίας ἀνάγκης, Σοῦ τὴν ποίμνην ἐκλυτρώσασθαι ἀεί.

*Ἐξαποστειλάριον,*

*Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.*

Ἐκ μητρικῆς ἐκάλεσεν, ὁ Θεός σε κοιλίας, καὶ μετανοίας κήρυκα, ἔδειξεν Κολουμβάνε, καὶ μιμητὴν Ἀποστόλων, καὶ τοῦ θείου Προδρόμου, μεθ’ ὧν δυσώπει Ὅσιε, πάσης βλάβης ῥυσθῆναι καὶ συμφορᾶς, καὶ λαβεῖν συγχώρησιν τῶν πταισμάτων, τοὺς πόθῳ ἑορτάζοντας, τὴν ἁγίαν σου μνήμην.

*Καὶ τὸ τῆς Ἑορτῆς.*

Ἣν πάλαι προκατήγγειλε, τῶν Προφητῶν ὁ σύλλογος, στάμνον καὶ ῥάβδον καὶ πλάκα, καὶ ἀλατόμητον ὄρος, Μαρίαν τὴν Θεόπαιδα, πιστῶς

ἀνευφημήσωμεν· σήμερον γὰρ εἰσάγεται, εἰς τὰ Ἅγια τῶν Ἁγίων, ἀνατραφῆναι Κυρίῳ.

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Πάτερ Κολουμβάνε Ὅσιε, σὲ ἐκ νηδύος μητρός, ὁ Θεὸς ἐξελέξατο, ὡς τὸν μέγαν Πρόδρομον, Ἰωάννην τὸν ἔνδοξον, ὅθεν ἐκείνου, ὤφθης συνόμιλος, λαοῖς κηρύττων, πᾶσι μετάνοιαν, καὶ τὸν πορνεύοντα, βασιλέα ἤλεγξας, καὶ διωγμούς, καὶ δεσμὰ ὑπέμεινας, ἀξιοθαύμαστε.

Πάτερ Κολουμβάνε πάνσοφε, τῶν Ἀποστόλων ζηλῶν, τὰ λαμπρὰ κατορθώματα, τὸν Χριστὸν τοῖς ἔθνεσι, Σουαβίας κατήγγειλας, κρατῆρα ζύθου, πλήρη διέῤῥηξας, ὃν τοῖς εἰδώλοις, σπονδὴν προσέφερον, δαίμονας ἤλασας, καταιγίδα ἔπαυσας, καὶ τῶν θηρῶν, στόματα ἐνέφραξας, ταῖς ἱκεσίαις σου.

Πάτερ Κολουμβάνε ἔνδοξε, ἐν φυλακῇ ἐγκλεισθείς, τοῖς δεσμίοις ἐγνώρισας, ὥσπερ πλήρης χάριτος, τοῦ Θεοῦ τὸ σωτήριον, καὶ πιστευσάντων, αὐτῶν τοῖς λόγοις σου, ἐλευθερίας, αὐτοὺς ἠξίωσας, πάντων εἰς ἔκπληξιν, καὶ ναοῦ ἠνέωξας, πύλην αὐτοῖς, τοῖς δ’ αὐτοὺς διώκουσι, ἐκείνην ἔκλεισας.

Πάτερ Κολουμβάνε πάνσεπτε, τοῦ ἀοράτου Θεοῦ, ὡς θεράπων ἰσάγγελος, σπείρᾳ βουλομένῃ σε, συλλαβεῖν τῷ προστάγματι, τοῦ βασιλέως, ὤφθης ἀόρατος, καὶ τῶν μελλόντων, τὴν γνῶσιν ἔσχηκας, νῦν δὲ δυσώπησον, τὸν μόνον φιλάνθρωπον, δοῦναι ἡμῖν, τοῖς σὲ μακαρίζουσιν, τὸ μέγα ἔλεος.

*Δόξα. Ὁ αὐτός.*

Πάλαι μὲν ἀνέστης Ἠλίας Προφήτης ὡς πῦρ, καὶ ὁ λόγος αὐτοῦ ὡς λαμπὰς ἐκαίετο, καταγαγὼν βασιλεῖς εἰς ἀπώλειαν, καὶ δεδοξασμένους ἀπὸ κλίνης αὐτῶν· Ἐλισαιὲ δὲ ἐνεπλήσθη πνεύματος αὐτοῦ, καὶ εἴκοσιν ἄρτοις κριθίνοις, ἑκατὸν ἄνδρας ἔθρεψεν, κατὰ τὸ ῥῆμα Κυρίου. Νῦν δὲ Κολουμβάνος ὁ πανθαύμαστος, τὸν τῇ πορνείᾳ δουλεύοντα ἄνακτα, ἀποτόμως ἤλεγξε, καὶ τὸν μένοντα ἐκεῖνον ὄλεθρον προείρηκε, ἐν Πνεύματι Ἁγίῳ προγινώσκων, ἐκβάσεις καιρῶν καὶ χρόνων· τοὺς δὲ ἐν τῷ ἀγρῷ κοπιῶντας ἑξήκοντα ἐδελφούς, δυσὶν ἄρτοις διέθρεψεν, καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν. Δεῦτε οὖν ἀδελφοί, τὸν ἐν Ἁγίοις θαυμαστὸν δοξολογήσωμεν, Χριστὸν τὸν Θεὸν ἡμῶν, ὅτι ὁ αὐτός ἐστι χθὲς καὶ σήμερον, καὶ εἰς πάντας τοὺς αἰῶνας, ἐν κατανύξει κρυαγάζοντες· Δέσποτα Σωτὴρ πρεσβείαις τοῦ Ὁσίου Σου, φεῖσαι τῶν ψυχῶν ἡμῶν, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Μετὰ τὸ τεχθῆναί σε, Θεόνυμφε Δέσποινα, παρεγένου ἐν Ναῷ Κυρίου, τοῦ ἀνατραφῆναι εἰς τὰ Ἅγια τῶν Ἁγίων, ὡς ἡγιασμένη. Τότε καὶ Γαβριὴλ ἀπεστάλη πρὸς σὲ τὴν πανάμωμον, τροφὴν κομίζων σοι. Τὰ οὐράνια πάντα ἐξέστησαν, ὁρῶντα τὸ Πνεῦμα τὸ Ἅγιον ἐν σοὶ σκηνῶσαν. Διὸ ἄσπιλε ἀμόλυντε, ἡ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς δοξαζομένη, Μήτηρ Θεοῦ, σῷζε τὸ γένος ἡμῶν.

*Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις Ἰρλανδίας θεῖος βλαστός, καὶ τῆς Σουαβίας ὁ διδάσκαλος ὁ σεπτός, Πάτερ Κολουμβάνε, τῶν μοναστῶν λαμπρότης, καὶ πρὸς Χριστὸν μεσίτης ἡμῶν ἀκοίμητος.

